τὰ τηλικαῦτα' ἔφη 'ἦν σώματα, ὅτε οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκουν;'

9. Τῆς δὲ τῶν Καρῶν βασιλίσσης Ἄδας ὄψα καὶ πέμματα παρεσκευασμένα περιττῶς διὰ δημιουργῶν καὶ μαγείρων φιλοτιμουμένης ἀεὶ πέμπειν πρὸς αὐτόν ἔφη κρείττονας ἔχειν αὐτὸς ὀψοποιούς, πρὸς μὲν ἄριστον τὴν νυκτοπορίαν πρὸς δὲ δεῖπνον τὴν ὀλιγαριστίαν.

B 10. Ἐπεὶ δὲ παρεσκευασμένων πάντων πρὸς μάχην ἠρώτησαν οἱ στρατηγοί, μή τι πρὸς τούτοις ἕτερον, οὐδέν, εἶπεν, ἢ ξῦραι τὰ γένεια τῶν Μακεδόνων· θαυμάσαντος δὲ τοῦ Παρμενίωνος 'οὐκ οἶδας' εἶπεν 'ὅτι βελτίων οὐκ ἔστιν ἐν μάχῃ λαβὴ πώγωνος;'

11. Δαρείου δὲ διδόντος αὐτῷ μύρια τάλαντα καὶ τὸ τὴν Ἀσίαν νείμασθαι πρὸς αὐτὸν ἐπίσης, καὶ Παρμενίωνος εἰπόντος 'ἐγὼ μὲν ἔλαβον ἂν εἰ Ἀλέξανδρος ἤμην', 'κἀγὼ νὴ Δία' εἶπεν 'εἰ Παρμενίων'. ἀπεκρίνατο δὲ Δαρείῳ μήτε τὴν γῆν ἡλίους δύο μήτε τὴν Ἀσίαν δύο βασιλεῖς ὑπομένειν.

C 12. Μέλλοντι δ' αὐτῷ περὶ τῶν ὅλων ἐν Ἀρβήλοις κινδυνεύειν πρὸς ἑκατὸν μυριάδας ἀντιτεταγμένας, προσῆεσαν οἱ φίλοι τῶν στρατιωτῶν κατηγοροῦντες ὡς ἐν